reum cadum,& pleni integrique calculi absoluebant,perforati autem & vacui damnabant & dicebantur ἀποδοκιμάζουσαι ψῆφοι. Rogat ergo Bdelycleon patrem vt calcem ἄκυρον mittat in amphoram posteriorem,& sic reum absoluat. Quod studium absoluendi quia insolens & iniucundum erat Philocleoni,ait, μύσας παραΐξον, iniice, inquit, conniuens & videre dissimulans.

Σχόλια. Μύσας παραΐξον.] ἐπεὶ παρὰ τὴν προαίρεσιν αὐτοῦ ἀναπείθει ῥίψαι ψῆφον εἰς τὸν ἄκυρον καδίσκον φησὶν αὐτῷ, μύσας τοῦτο ποίησον. ὡς ἀτόπου αὐτῷ τούτου φαινομένου. Οὗτ᾽ ἔσθ᾽ ὁ πρότερος.] ὁ καδίσκος ὅπου αἱ τῶν καταδικαζομένων ψῆφοι ἐβάλλοντο. ἐναλλάσσει δὲ τὰς χεῖρας περιφέρων τὰς ὑδρίας, ἵνα ἀγνοήσας ἀποδοκιμάσῃ εἰς τὸν ὕστερον καδίσκον τὴν ἀποδοκιμάζουσαν ἐμβαλὼν ψῆφον. μιμεῖται δὲ τοὺς ἐν τῷ δικαστηρίῳ πολλάκις ἀπατῶντας. ἑστῶτος γὰρ τοῦ τε κατηγοροῦντος, καὶ τοῦ ἀπολογουμένου, ῥάβδον κατέχει παρεστὼς ὁ κῆρυξ ἢ θεσμοθέτης, καὶ τούτῳ ἐπιλήθησι τοὺς καταψηφισθέντας, ἵνα μὴ ἕτερος ἀνθ᾽ ἑτέρου ἀπαχθῇ. ἄλλως. βάλλων ὁ Φιλοκλέων τὴν ψῆφόν φησι. καθῆκα δὲ εἰς τὸν πρότε-

A ρον. Αὕτη ᾽ντευθενί.] δύο καδίσκοι ἦσαν τῶν ψήφων. εἷς μὲν ὁ ἐλέου ὁ ὀπίσω. ἕτερος δὲ ὁ ἔμπροσθεν θανάτου. παρασκευάζεται οὖν εἰς τὸν τοῦ ἐλέου ἐμβαλεῖν τὴν ψῆφον. ἀλλάσσει γὰρ τοὺς τόπους αὐτῶν ὁ Βδελυκλέων, ἵνα ἀπατηθεὶς ὁ πατὴρ, βάλῃ εἰς τὸν τοῦ ἐλέου. Φέρ᾽ ἐξεράσω.] ἀντὶ τοῦ εἰς τὴν γῆν μεταβαλῶ τὰς ψήφους. ἔρα γὰρ ἡ γῆ. βούλεται δὲ ἀριθμῆσαι τὰς ψήφους.

CHRIST. Οὗτ᾽ ἔσθ᾽ ὁ πρότερος.] Prior cadiscus & absolutorius, & κύριος in quem plenæ mittebantur calces, Bdelycleon autem manibus hydrias vel cados circumferens, sedes mutauerat. Hæc autem cùm ait, notat eos qui in calculis ferendis scientes fallebant. Itaque stantibus illic accusatore & reo, Præco vel Thesmotheta adstans cum virga vel commotaculo, operam dabat ne quid ibi fraudis fieret, & mutaretur iactus in misericordiam pro eo qui in mortem. Πῶς γὰρ ἠγωνίσμεθα;] Videtur translatum à certaminibus luctæ in qua qui aduersarium deiecerat, ἐξεράσαι dicebatur, à terra quę ἔρα vocatur. In Acharnensibus dixit ἐξεράσαι λίθους pro abiicere.

Βδ. Δείξειν ἔοικεν ἐκπέφευγας ὦ Λάβης.
Πάτερ πάτερ τί πέπονθας; Φι. οἴμοι ποῦ ᾽σθ᾽ ὕδωρ;
Βδ. Ἔπαιρ᾽ ἔπαιρε σαυτόν. Φι. εἰπέ νυν ἐκεῖνό μοι
Ὄντως ἀπέφυγε; Βδ. νὴ Δί᾽. Φι. οὐδέν εἰμ᾽ ἄρα.
Βδ. Μὴ φροντίσῃς ὦ δαιμόνι᾽. ἀλλ᾽ ἀνίστασο.
Φι. Πῶς οὖν ἐμαυτῷ τοῦτ᾽ ἐγὼ ξυνείσομαι.
Φεύγοντ᾽ ἀπολύσας ἄνδρα; τί ποτε πείσομαι.
Ἀλλ᾽ ὦ πολυτίμητοι θεοί. ξύγγνωτέ μοι.
Ἄκων γὰρ αὔτ᾽ ἔδρασα, κοὐ τοὐμοῦ τρόπου.
Βδ. Καὶ μηδὲν ἀγανάκτει γ᾽, ἐγὼ γάρ σ᾽ ὦ πάτερ
Θρέψω καλῶς. ἄγων μετ᾽ ἐμαυτοῦ πανταχοῦ.
Ἐπὶ δεῖπνον. εἰς ξυμπόσιον. ἐπὶ θεωρίαν.
Ὥσθ᾽ ἡδέως διάγειν σε τὸν λοιπὸν χρόνον.
Κοὐκ ἐγχανεῖταί σ᾽ ἐξαπατῶν Ὑπέρβολος.
Ἀλλ᾽ εἰσίωμεν. Φι. ταῦτα νῦν γ᾽ εἴπερ δοκεῖ.

*BD. Calces recenset, ac, puto, effugit Labes.*
*Hem quod malum angit te pater? PH. da frigidam.*
*BD. Attolle te ipsum. PH. dic mihi, an verè canis*
*Euasit ille? BD. factum. PH. At at prorsum occidi.*
D *BD. Ne maceres te, surge vir spectabilis.*
*PH. At vix mihi ipse credo, quum considero*
*Reum absolutum à me, quid accidit mihi?*
*Ast ô colendi cœlites ignoscite*
*Mihi, nec volenti nec solenti id excidit.*
*BD. Auffer molestè id ferre, ne succenseas.*
E *Prolixè alam te, vbique te ducam pater,*
*Ad prandia ad conuiuia ad spectacula,*
*Omnesque porrò suauiter deges dies.*
*Hyperbolusque impostor haud illuserit.*
*Sed eamus intrò. PH. si videbitur, volo.*

CHR. Δείξειν ἔοικε.] Id est, φανερώσει, δηλώσει, palàm faciet, & inspectos calculos ostendet, Itaque euasisti ô Labes, Rectè ἐκπέφευγας dixit de reo qui propriè φεύγων. Nam τὸ ἐκ absolutionem notat, vt ἀπό, Postea enim dicit ὄντως ἀπέφυγε, Miserum & crudelem iudicem qui mortem quærit peccantium, in quem rectè illud ex carmine Bucolico competat,

Et si non aliquà nocuisses, mortuus esses.

Certè illi miserorum παθήματα non sunt μαθήματα, sed πράγματα: sed hic non tam Philocleonis quàm ipsius Cleonis ingenium spectatur, cuius etiam eò progreditur impietas vt à Diis veniam petat elapsę sibi clementiæ, quasi ipsi sint (vt de tyranno legitur apud Val. Maximum) noui punitores misericordiæ.

Σχόλια. Ἐκπέφευγας ὦ Λάβης.] ὡς ἀριθμηθεισῶν τῶν ψήφων, καὶ τῶν ἀπολυουσῶν πλειόνων οὐσῶν. Ποῦ ᾽σθ᾽ ὕδωρ.] ὡς παρειμένου αὐτοῦ, ψυχρὸν ὕδωρ αἰτεῖ. ἀκούσας γὰρ τὸ ἐκπέφευγεν ὁ Φιλοκλέων, ἐλιποψύχησεν.

ὅσον γὰρ ἐπ᾽ αὐτῷ ἦν καταδικασθείς. Ὄντως ἀπέφυγεν.] ὑπεξελήλυθε. γενόμενος ἐκτὸς τιμωρίας τοῦ φεύγοντος. Σύγγνωτέ μοι] ὡς μέγα τι ἀτόπημα πράξας ἀπολογεῖται τοῖς θεοῖς.
F Ἐπὶ δεῖπνον εἰς ξυμπόσιον.] ἐν ἄλλοις ἐπὶ δεῖπνον εἰς συμπόσιον. οὕτω γὰρ ἐκάλουν. ὥστε μόνον εἶναι τὸν οἶνον κοινόν. τὰ δὲ λοιπὰ ἑαυτοῦ κομίζειν οὕτω κληθέντα. πανθοινίαν δὲ ἔλεγον, ὥς φησιν Εὐφρόνιος, ὁπότε εἰς κοινὸν καταθέντες τὰ κομισθέντα δεῖπνα, πάντες ἀπήλαυον.

CHR. Ἐπὶ δεῖπνον, εἰς ξυμπόσιον.) Idem facit Scholiastes δεῖπνον & συμπόσιον, & illic vinum solum commune fuisse dicit, At πανθοινίαν esse (alij πανθοίνην & πανδαισίαν) quum quisque δεῖπνον ferens, in commune deponebat omnibus pariter fruentibus. Apud Athenęum multas habes species, nempe ἐπιδόσιμον, σύνδειπνον, ἀπὸ συνειδος δεῖπνον, συναγώγιμον & συμβολὴν, vbi notandum συνάγειν esse compotare, & collatiuam pecuniam Symbolam ab Argiuis dici, vt portionem vel μερίδα, αἶσαν.